# 26 IULIE

# PARACLISUL SF.PREOT-MUCENIC ERMOLAE DE LA NICOMIDIA

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# Παρακλητικός κανών Εις τον Άγιον Ιερομάρτυρα Ερμόλαον τον Ιαματικόν

*υπό Αρχιμ. Νικόδημου Παυλοπούλου*
*Ηγουμένου Ι. Μ. Λειμώνος ΚαλλονήςΛέσβου*

Ὁ Ἱερεύς: Εὐλογητός ὁΘεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων.
Ὁ Ἀναγνώστης: Ἀμήν.

Ψαλμός ρμβ΄ (142)

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ά΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β΄. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεός Κύριος, καὶ ἐπέφανεν ἡμὶν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ΄. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.

Των Ιερέων τον κλεινόν πρωτοστάτην και Παντολέοντος γενναίον αλείπτην Ιερομάρτυρα γεραίρομεν νυν ότι εμαρτύρησεν έν τοις έμπροσθεν χρόνοις και υπερεδόξασε Θαυμαστόν εν Αγίοις, τον αρχηγόν της πίστεως Χριστόν, ω και πρεσβεύει υπέρ των ψυχών ημών.

Δόξα Πατρί καὶ Υἱῶ καὶ Ἁγίω Πνεύματι. *Ήχος ο αυτός.*

*Των* Λειτουργούντων τα αμέτρητα πλήθη και Αναργύρων Ιατρών η χορεία συν των Μαρτύρων τάξεσι, και πάντες ομού, δεύτε και συνέλθωμεν προς ανύμνησιν θείαν του Ιερομάρτυρος Ἑρμολάου του πάνυ ως Διδασκάλου και κατηχητού Παντελεήμονος άγιου και Μάρτυρος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.. **Θεοτοκίον.**

Ου σιωπήσομεν ποτέ, Θεοτόκε, τας δυναστείας Σου λαλείν οι ανάξιοι· ει μη γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων; τις δε διεφύλαξεν έως νυν ελευθέρους; Ουκ αποστώμεν, Δέσποινα, εκ σου·σους γάρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

# Ψαλμός ν' (50)

Και ευθύς ψάλλομεν τον κανόνα, ου η ακροστιχίς·
**«ΔΕΗΣΙΝ ΠΛΕΚΩ ΤΗ ΕΡΜΟΛΑΟΥ ΜΝΗΜΗ.» ΝΙΚΟΔ. Π.**

Ωδή **Α'.** *Ήχος πλ. δ'. Ύγράν διοδεύσας...*

**Δ**εόμενον δέξαι Ανάργυρε, Ερμόλαε Μάρτυς και δαψίλευσον επ' εμέ την του Παρακλήτου Θείαν Χάριν ην Παντολέοντι πάλαι Συ δέδωκας.

**Ε**χόμενον πλήθεσι και σειραίς εμών εγκλημάτων, Σοι προσέρχομαι, Άγιε εν τε συντριβή και ταπεινώσει και δέομαι Σου απάλλαξον τούτων με.

**Η**μάρτηκα, πάτερ Ερμόλαε, ως πώττοτε άλλος ήμαρτε κατενώπιον του μόνου άμωμου και αγίου και δέομαι Σου μετάνοιαν δίδου μοι.

**Θεοτοκίον.**

Σ ωρείαν πταισμάτων εκτίναξον από της ψυχής μου, εγκαθίδρυσον δ' εν εμοί καρδίαν διψώσαν ως έλαφος το ύδωρ Κυρίου Ζωοδότου, όπερ ανέβλυσας.

**Ώδή Γ'.** Ουρανίας αψίδος.

**Ι**λαρός φάνηθί μοι, θαυματουργέ Άγιε, και της αμαρτίας τον ρύπον Συ μου απόσμιξον πλείστα γάρ οίδας Συ, ως παιδευτής εν Κυρίω ιερά μαθήματα νυν παραθείναι μοι.

**Ν**ουν Χριστού φύτευσόν μοι, κατηχητά άριστε, ως Παντελεήμονι πάλαι Μεγαλομάρτυρι νουν ουρανόφρονα και καιομένην καρδίαν υπό Θείου έρωτος Συ ενεφύτευσας.

**Π**ονηρού νυν τα βέλη και τας ενέδρας διάλυσον και του αμφιβλήστρου δαιμόνων Συ με απάλλαξον συ γάρ επάλαισας προς τον αρχέκακον όφιν και τας ελεπόλεις Συ τούτου κατέθραυσας.

**Θεοτοκίον.**

Λέων ώσπερ και σκύμνος περιπατών ο διάβολος την εμήν ψυχήν διαρπάσαι ζητεί Θεόνυμφε αλλά Συ φάνηθι νυν αρωγός και προστάτης και εμέ εκλύτρωσαι τούτου ως τάχιον.

**Δ**ιάσωσον από κινδύνων σους δούλους, Άγιε πάτερ, ότι πάντες εν ασθενείαις Σοι καταφεύγομεν αιτούμενοι ίασιν και υγείαν.

Επίβλεψον εν ευμενεία πανύμνητε Θεοτόκε επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.

Μικρά δέησις και ψάλλομεν το κάθισμα.

Ήχος β'. Τα άνω ζητών...

**Α**νάργυρον, πιστοί, τον Θείον Ερμόλαον εν ύμνοις τανύν υμνήσωμεν κραυγάζοντες Χαίροις Πάτερ κλεινέ, και της πίστεως πρόμαχε,

Νικομήδειας, Μάρτυς ιερέ, και πάντας ταχέως υπεράστησον.

Ωδή Δ'. Εισακήκοα Κύριε...

Εισακήκοα, Άγιε, της Νικομήδειας φρικτόν μαρτύριον κατενόησα την κάμινον, εμακάρισά τε την Σην πρόνοιαν.

**Κ**αιομένου επάκουσον υπό αμαρτίας, κλεινέ Ερμόλαε, και την κάμινον κατάσβεσον, ην ο πονηρός μοι επροσήναψεν.

**Ω**ραιότητος γέγονα έρημος ο τάλας των αρετών πασών δουλωθείς τω κοσμοκράτορι και τα σκότους έργα προαιρούμενος.

Θεοτοκίον.

**Τ**ιμωρίας ήλόγησα, ης οι κάκεργάται τότε μεθέξουσι εν ήμερα τη της κρίσεως καθεκάστην ενεργών, Μήτερ, τα άτοπα.

Ωδή Ε'. Φώτισον ήμας...

**Ἠ**κιστα, σοφέ, εμελέτησα τα Λόγια τα εν Ευαγγελίω αγνά και εις τον γνόφον της αγνοίας εναυάγησα.

**Ε**ύροιμί Σε νυν παιδευτήν τε και διδάσκαλον ως Παντελεήμων ο κλεινός και αντιλήπτορα και πρέσβυν απροσμάχητον.

**Ρ**ύσαι, αγαθέ, των παγίδων του αλάστορος έτι δε δουλείας των παθών της αμαθείας διαλύων την σκοτόμαιναν.

Θεοτοκίον.

Μέμνησο κάμου εντυγχάνουσα πρός Κύριον εκτενώς τε εύχου δι' εμέ ως παρρησίαν κεκτημένη απαράμιλλον.

Ωδή ΣΤ'. Την δέησιν...

Ο Άξιος Αμπελώνος εργάτης συν Ερμίππω Ερμοκράτη οικεί νυν εν ταις αυλαίς ουρανών ταις αγίαις και απολαύει των πόνων τον στέφανον δεόμενος υπέρ ημών συναθλείν μετά πάντων αείποτε.

Λυτρούμενος της πύρας ην καθήψεν ο δεινός αυτοκράτωρ της Ρώμης εν τω Ναώ και κατέκαυσε τότε συν τω Ανθίμω πιστών ως που είκοσι ανθρώπων χιλιάδας, νυν και εμέ του πυρός Συ εξάρπασον.

Ανεύρε Σε συγκρυπτόμενον πάτερ τοις συνάθλοις Σου πατράσιν ο άρχων ότε αυτώ Παντολέων εξείπε την ιδιότητα Σου την παγγέραστον γενού κάμοι κατηχητής ως εκείνω και δος μοι επίγνωσιν.

Θεοτοκίον.

Ο κλύδων με των αμέτρων πταισμάτων εκταράττει και βυθώ με καθέλκει, διηνεκώς αμαρτίας, Παρθένε, αλλά προφθάσασα χείρα μοι έκτεινον και δίδου μοι προς γαληνούς μετανοίας λιμένας ορμίζεσθαι.

Άγιε ο διά λόγου τον Λόγον ανερμηνεύτως Παντολέοντι γενναίω μορφώσας επάκουσον και δίδου μοι μαρτυρίας την χάριν.

Άχραντε η διά λόγου τον Λόγον...

Δέησις μικρά και ευθύς το Κοντάκιον.

Ήχος β'. Προστασία...

Ερμηνεύ Χρίστου λογίων, πανάριστε, Παντολέοντος διδάσκαλε μέγιστε καιΑνάργυρε - ως άλλων η πλειάς - Συ εκζήτησον κάμε και οδήγησον ορθώς εις οδόν του Κυρίου μου τρέχειν τε και βαδίζειν άλλους δ' αεί φωτίζειν ως παρρησίαν προς Θεόν κεκτημένος Συ Ερμόλαε.

Προκείμενον.

Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

**Στίχ.** Τοις αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος.

ΕΥΑΓΓΕΛΙΟΝ

Εκ του κατά Ματθαίον (ι', 1. 5-8).

Τω καιρώ εκείνω, προσκαλεσάμενος ο Ιησούς τους δώδεκα Μαθητάς αυτού, έδωκεν αυτοίς εξουσίαν κατά πνευμάτων ακαθάρτων, ώστε εκβάλλειν αυτά και θεραπεύειν πάσαν νόσον και πάσαν μαλακίαν. Τούτους απέστειλεν ό Ιησούς, παραγγείλας αυτοίς, λέγων. Εις οδόν **ε**θνών μη απέλθητε, και εις πόλιν Σαμαρειτών μη εισέλθητε. Πορεύεσθε δε μάλλον προς τα πρόβατα τα απολωλότα οίκου Ισραήλ.

Πορευόμενοι δε κηρύσσετε, λέγοντες· Ότι ήγγικεν η βασιλεία των ουρανών. Ασθενούντας θεραπεύετε, λεπρούς καθαρίζετε, νεκρούς εγείρετε, δαιμόνια εκβάλλετε, δωρεάν ελάβετε δωρεάν δότε.

Δόξα Σοι, Κύριε, δόξα Σοι.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**
Ταις του Αναργύρου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.
**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων, ἀμήν.**
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶνέγκλημάτων.

**Στίχ.** Ελεήμον, ελέησόν με, ο Θεός, κατά το μέγα έλεός Σου, και κατά το πλήθος των οίκτιρμών Σου εξάλειψον το ανομημά μου.

Ήχος πλ. Β΄ Όλην αποθεμένοι...

Όλην συλλεξάμενος, την των Γραφών επιστήμην και παθών υπέρτερος, τον Χριστόν εκήρυξας, παναοίδιμε, και Αυτόν εμόρφωσας εν αγνή καρδία μαθητού Σου Παντολέοντος ον και ανέδειξας Μάρτυρα Ανάργυρον μεγΐστον και τούτω ηκολούθησας δεύτερος πιών το ποτήριον Συ ουν δίδαξαν με εκκλίνειν μηχανίας του εχθρού και εφαρμόζειν το θέλημα του Θεού το άγιον.

**Ὁ Ἱερεύς:**

Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σού• ἐπισκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶνὀρθοδόξων καί καταπεμψον ἐφ' ἡμᾶς τά ἐλέη σου τά πλούσια• πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας• δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυρού• προστασίαις τῶν τιμίωνἐπουρανίων Δυνάμεων Ἀσωμάτων• ἱκεσίαις τοῦ Τιμίου καί Ἐνδόξου Προφήτου, Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου• τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων• τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦΘεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμμονος, πατριαρχῶν Ἀλεξανδρείας. Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν Θαυματουργών• τῶν ἁγίωνἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦΜυροβλήτου, Θεοδώρων Τύρωνος καί Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης.

Τοῦ ἁγίου ἐνδόξου καὶ καλλινίκου Ιερομάρτυρος Επμολάου του Αναργύρου. καὶ πάντων σου τῶν Ἁγίων.Ἱκετεύομεν σέ, μόνε πολυέλεε Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ωδή Ζ'. Οι εκ της Ιουδαίας...

Υπηρέτης Κυρίου ως υπήρξας, Ερμόλαε αγιώτατε, κάμε υπηρετείν Σοι και πράττειν του Κυρίου το πανάγιον θέλημα αξίωσον και υμνείν Θεόν ευλογημένον.

Μοναστών βίου τρόπον και ανάργυρον δράσιν, πάτερ, επέδειξας αγνεύων και κηρύττων και πάντας θεραπτεύων ως ηθέλησε Κύριος ο των Πατέρων ημών Θεός ευλογημένος.

Ν οεράν προσευχήν Συ και παννύχιον στάσιν πάτερ εβίωσας δεόμενος Κυρίω νηστεία χαμευνία, αγρυπνία και άλλαις τε ασκητικαίς αρεταίς, Θεώ ευλογημένω.

Θεοτοκίον.

Ήμαρτε και καθ' ύπνον θέλημα Σου παρέβην, Παρθένε πάνσεμνε άλλ' οίκτειρόν με σώσον ως πρεσβεύουσα μόνη Κυρίω πάντοτε τω των Πατέρων ημών Θεώ ευλογημένω.

Ωδή Η'. Τον βασιλέα...

Μονώτατόν με άμαρτίαις παντοίαις πεπαρμένον διάσωσον, πάτερ, και αξίωσον με τυχείν της σωτηρίας.

Ημάρτηκά Σοι ως ουδείς ποτέ άλλος και ελύπησα πανάγιον Πνεύμα άλλ' επίστρεψόν με υπό την τούτου σκέπην.
Μενοσηκότα κατά σάρκα και πνεύμα και κλινήρη τυγχάνοντα, Πάτερ, Συ εξέγειρόν με υμνείν σε εκ καρδίας.

Θεοτοκίον.

Ιδιωτεύειν με τω λόγω Παρθένε, και λαλείν απορούντα προσδέχου Συ η Θεόν Λόγον σαρκί γεγεννηκυία.

Ωδή Θ'. Κυρίως Θεοτόκον.

Κύρω και Ιωάννη και τοις Αναργύροις Συ κατηρίθμησαι, πάτερ Ερμόλαε, και μετά τούτων απάντων πόλον κατώκησας.
Ομόνοιαν αγάπην και μακροθυμίαν αγαθωσύνην τε, πάτερ Ερμόλαε, χαράν, ειρήνην, εγκράτειαν Συ μοι βράβευσον.
Δεόμεθά Σου, Πάτερ, μετά Σων συνάθλων του συμβαδίζειν αεί ως φιλάδελφος και ενισχύειν άσφάλτως βαδίζειν πάντοτε.

**Θεοτοκίον.**

Παρθένε Θεοτόκε, επί Σε προσφεύγω το καταφύγιον πάντων το άμισθον και εξαιτούμαι ευρείν Σε σκέπην ασάλευτον.

Ἄξιον ἔστιν... καὶ τὰ ΜΕΓΑΛΥΝΑΡΙΑ ὧν ἡ ἀκροστιχίς· ΝΙΚΟΔΗΜΟΥ

**Ν**όσους θεραπεύοντα των ψυχών αλλά και σωμάτων ως ανάργυρον θαυμαστόν ομολογώ κηρύττω Ερμόλαον τον Θείον και τούτω καταφεύγω ευρείν την ίασιν.
**Ι**ασαί με πάτερ Ερμόλαε και δος μοι υγείαν ην επόθησα του λαβείν εν τω Σεπτω Ναω Σου προσφεύγων και λειψάνοις τοις Σοις αεί προσπίπτων και Σου δεόμενος.
**Κ**όσμον καθοδήγησον προς Χριστόν Ερμόλαε Πάτερ, ως εδίδαξας τον λαόν τον της Νικομήδειας, Παντελεήμονα τε, τον μέγαν εν τοις Μάρτυσι και πανθαύμαστον.
**Ό**λον με συμφύρεσθαι καθορών τοις πάθεσι, πάτερ, της σαρκός και του πνεύματος καθάρισον άμα και τω Χριστώ παράθου και φόβον τον Εκείνου εν εμοί φύτευσον.

**Δ**έομαί Σου Πάτερ Ερμόλαε, και αντιβολώ Σε νεολαίαν Σου στήριξον και σώσον κινδύνων των εκ του μισοκάλου ως ποτε Συ ερρύσω Παντελεήμονα.
**Η**μάρτηκα σώσον, Ερμόλαε, ηνόμησα, Πάτερ, και Θεόν παρεπίκρανα αλλά Σην μοι δίδου βοήθειαν εξ ύψους και ενδυνάμωσόν με Χριστώ συντάσσεσθαι.
**Μ**ονή του Λειμώνος, Ανάργυρε, Ερμό λαε, πάτερ, καταφεύγω και δέομαι προσπίπτων Λειψάνοις τοις τεθησαυρισμένοις του έλεος ευρείν με και χάριν λήψεσθαι.

Ομοίως προστρέχω τω Σω Ναώ εν Παλαιοκήπω τω της Γέρας, τω Ιερώ, και σε λιτανεύω και δέομαι και κράζω Ερμόλαε τρισμάκαρ Συ μοι βοήθησον.
Υμνείν Σε αξίως, αξίωσον διδάσκαλε λόγων τε και πράξεων αγαθών ώστε Σε μιμείσθαι οπίσω τε βαδίζειν αγίων Σω βημάτων και καταρτίζεσθαι.

Τὸ Τρισάγιον

και το Απολυτίκιον του Αγίου.
Ήχος δ'.

Ως στύλος υπέρλαμπρος της Εκκλησίας Χρίστου, ο λύχνος ο άσβεστος της Οικουμένης Σοφέ, εδείχθης Ερμόλαε, έλαμψας εν τω κόσμω, δια του μαρτυρίου, δαίμονας εκδιώκων και λεπρούς καθαρίζων, διό τοις Σε ποθούσιν πιστώς βρύεις ιάματα.

Δέησις μεγάλη και Απόλυσις, εν δε τω ασπάζεσθαι την Εικόνα.

Τροπάριον. Ήχος β'. Ότε εκ του ξύλου Σε...
Δεύτε και προσπέσωμεν, πιστοί, τω Ναώ τω Θείω και μέγα του Ερμολάου τουτί και κατασπασώμεθα τούτου τα Λείψανα ιεράν τε και πάνσεπτον αγίαν εικόνα και καθικετεύσωμεν εκλιπαρούντες Αυτόν Πάτερ σου δεόμεθα ρύσαι πάσης θλίψεώς τε και νόσου και απάλλαξον ημάς του πολεμήτορος.

**Θεοτοκίον.**

**Δ**έσποινα πρόσεξαι τας δεήσεις των δούλων Σου και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Ὁ Ἱερεύς:

Δί' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καί
σῶσον ἡμᾶς. Ἀμήν.